www.tezaurliturgic.ro

# ΦΕΒΡΟΥΑΡΙΟΥ Η΄
# ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΣΤΡΑΤΗΛΑΤΟΥ

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. β΄. Τριήμερος ἀνέστης.

Θεόδωρον ἐν ὕμνοις φαιδρῶς, τὸν θεῖον εὐφημήσωμεν, Στρατηλάτην τοῦ Χριστοῦ τὸν εὐκλεῆ, πιστῶς ἀναβοῶντες· Περίσῳζε εὐχαῖς σου, ἡμᾶς κινδύνων πολυσέβαστε.

Στρατείας τῆς προσκαίρου λιπών, τὴν εὔκλειαν ὡς πάνσοφος, Στρατηλάτα ἐστρατεύθης τῷ Χριστῷ, καὶ τοῦ φωτός ἐν ὅπλοις, τοῦ σκότους τὸν δυνάστην, μάρτυς Θεόδωρε ἐνίκησας.

Γλυκόφθογγος ὡς ῥήτωρ Χριστοῦ, κηρύξας τὴν Θεότητα, ἐναντίον Λικινίου τοῦ δεινοῦ, Θεόδωρε παμμάκαρ, ἐν στάσει μαρτυρίου, ὡς καρτερόψυχος ἠρίστευσας.

Ὀδύνας μαρτυρίου στεῤῥῶς, ὡς ἄλλου τινὸς πάσχοντος, ὑπομείνας ὦ Θεόδωρε σοφέ, ἀναψυχῆς μενούσης, ἐπέτυχες πρεσβεύων, ὑπὲρ ἡμῶν τῷ Πανοικτίρμονι.

Δόξα Πατρί. Ἦχος β΄.

Ἀθλοφόρε ἀήττητε, τοῦ Κυρίου Θεόδωρε, τῆς κλήσεως ἀξίως πολιτευόμενος, τοὺς τὰ γλυπτὰ προσκυνοῦντας διήλεγξας, καὶ μαρτυρίου ἐν τῷ σταδίῳ, ὡς στρατηγὸς οὐράνιος διέπρεψας· διὸ ἀξίως ἐστεφανώθης, τῆς ἀθανάτου ζωῆς τῷ διαδήματι, καὶ πρεσβεύεις ἐκτενῶς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.
Γερμανοῦ· οἱ δὲ Ἰωάννου Μοναχοῦ.

Τὸν Ἱερὸν ἡ ἱερὰ Παρθένος προσεκόμισεν, ἐν Ἱερῷ τῷ Ἱερεῖ· ἁπλώσας δὲ ἀγκάλας ὁ Συμεών, ἐδέξατο τοῦτον ἀγαλλόμενος, καὶ ἐβόησε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ Κύριε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Δῶρον ὄντως Θεοῦ, εὑρέθης φερωνύμως, Θεόδωρε παμμάκαρ, ἀγῶνα ἐκτελέσας, γενναίως τῆς ἀθλήσεως.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Ἤνθησας μυστικῶς, ἐν ταῖς κοιλάσι μάρτυς, τοῦ θείου μαρτυρίου, ὑψίκομος ὡς φοῖνιξ, τῆς πίστεως Θεόδωρε.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου...

Πρέσβευε τῷ Θεῷ, ὡς παῤῥησίαν ἔχων, ὑπὲρ τῶν ἱκετῶν σου, Θεόδωρε παμμάκαρ, Μαρτύρων ἐγκαλλώπισμα.

www.tezaurliturgic.ro



Δόξα Πατρί. Τριαδικόν.

Δόξα σοι ὦ Τριάς, ἡ ἐν τρισὶ προσώποις, ἀμέριστος Θεότης· ἡμᾶς οὖν πάντας σῷζε, λιταῖς τοῦ Ἀθλοφόρου σου.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε ἡ τὸν Χριστόν, τεκοῦσα ἀπειράνδρως, εὐλογημένη Κόρη, ἡμῶν εἰς σωτηρίαν, καὶ κόσμου ἀπολύτρωσιν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Μάρτυς θεόφρον Θεόδωρε, τοὺς ψευδωνύμους θεούς, μηδαμῶς σεβαζόμενος, τοῦ Χριστοῦ ἐκήρυξας, τὸ σωτήριον ὄνομα, καὶ ἀνεπλήρωσας προθυμότατα, τοῦ θείου πάθους τὰ ὑστερήματα, ἐν τῷ σαρκίῳ σου, μαρτυρήσας ἔνδοξε καρτερικῶς· ὅθεν σε γεραίρομεν, ἐπαγαλλόμενοι.

Μάρτυς θεόφρον Θεόδωρε, τοῦ βασιλέως Χριστοῦ, στρατηγὸς ὡς ἀήττητος, κατ᾽ ἐχθρῶν τῆς πίστεως, ὁρατῶν νοουμένων τε, τοῖς θείοις ὅπλοις περιφραξάμενος, ἀνδρειοτάτῃ ψυχῇ ἐχώρησας, καὶ κατετρόπωσας, τούτων τὰ στρατεύματα νικητικῶς, σύμμαχον τὴν ἄνωθεν, χάριν κτησάμενος.

Μάρτυς θεόφρον Θεόδωρε, τοῦ δυσσεβοῦς μὴ πεισθείς, Λικινίου τῷ δόγματι, οὐδαμῶς ἐπέθυσας, τοῖς ξοάνοις ὡς πάνσοφος, ἀλλὰ λεπτύνας ταῦτα διένειμας, ὁ ἐλεήμων πτωχοῖς καὶ πένησιν. Ὅθεν ὑπήνεγκας, αἰκισμούς τε μάστιγας καὶ ἀπηνῶς, ξίφει τὴν αἰδέσιμον, ἐτμήθης κάραν σου.

Μάρτυς θεόφρον Θεόδωρε, ἀναρτηθεὶς ἐν σταυρῷ, τοξευόμενος βέλεσι, καὶ ἐξορυττόμενος, ὀφθαλμοὺς τοὺς τοῦ σώματος, οὐκ ἐσαλεύθης πίστεως στάσεως, Πνεύματι Θείῳ ἐνισχυόμενος· ξίφει δὲ κάραν σου, μάκαρ τὴν αἰδέσιμον ἀποτμηθείς, τὴν τοῦ δολιόφρονος, κάραν συνέτριψας.

Μάρτυς θεόφρον Θεόδωρε, σὺ φερωνύμως σαυτόν, τῷ Θεῷ προσενήνοχας, δῶρον εὐαπόδεκτον, καὶ θυσίαν εὐάρεστον, κριὸς καθάπερ ἐπισημότατος, χερσὶ ἀνόμων σφαγιαζόμενος. Ὅθεν δεδώρησαι, ἀψευδὴς ὑπέρμαχος πᾶσιν ἡμῖν, τοῖς ἀνευφημοῦσί σου, τὰ κατορθώματα.

Μάρτυς θεόφρον Θεόδωρε, μαρτυρικῶς μορφωθείς, τοῦ Χριστοῦ τὰ παθήματα, ἐν σταυρῷ ὑψούμενος, λογχευόμενος βέλεσι, τῆς ὑπερφώτου τῆς ἀναστάσεως, αὐτοῦ ἐδείχθης δόξης συμμέτοχος. Ὅθεν καλοῦμέν σε, προσφυῶς μακάριε δῶρον Θεοῦ, ὡς προϊσταμένου σου, ἡμῖν πρεσβείαις σου.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Σήμερον ἀνέτειλεν ὑπὲρ τὸν ἑωσφόρον, ἡ σεβάσμιος μνήμη τοῦ Ἀθλοφόρου Χριστοῦ, τῶν πιστῶν τὰς καρδίας ἀνενδότως φωτίζουσα, καὶ τὰ νέφη τῶν ψυχῶν ἀποδιώκουσα, τῇ ἐνεργείᾳ καὶ χάριτι τοῦ Πνεύματος· πρὸς ὃν φιλομάρτυρες ἀνακράξωμεν· Χαίροις ὁ τοῖς πιστοῖς, ἀναδειχθεὶς θεοδώρητος χάρις, καὶ τῶν θαυμάτων τὰ πλήθη ἐφαπλῶν, τοῖς εἰς σὲ προστρέχουσι, Θεόδωρε μακάριε. Χριστὸν ἀπαύστως πρεσβεύων μὴ ἐλλίπῃς, τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν πάνσεπτον μνήμην σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.
Γερμανοῦ· οἱ δὲ Ἀνατολίου.

Ὁ παλαιὸς ἡμερῶν, νηπιάσας σαρκί, ὑπὸ Μητρὸς Παρθένου τῷ Ἱερῷ προσάγεται, τοῦ οἰκείου νόμου, πληρῶν τὸ ἐπάγγελμα· ὃν Συμεὼν δεξάμενος ἔλεγε· Νῦν ἀπολύεις ἐν εἰρήνῃ, κατὰ τὸ ῥῆμά σου τὸν δοῦλόν σου· εἶδον γάρ οἱ ὀφθαλμοί μου, τὸ σωτήριόν σου Κύριε.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα, ἃ ζήτει ἐν τῇ σελίδι 2 τοῦ παρόντος, ἐν τῇ μνήμῃ τοῦ ἁγίου μεγαλομάρτυρος Νικήτα.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, φιλομαρτύρων τὸ ἄθροισμα, ἐπὶ τῇ εὐσήμῳ ταύτῃ ἡμέρᾳ, Θεοδώρου

www.tezaurliturgic.ro



τοῦ σεπτοῦ μεγαλομάρτυρος. Οὗτος γὰρ Λικινίου εὐσεβῶς, τοῦ ἀσεβοῦς προστάγματος καταφρονήσας, καὶ τῶν εἰδώλων αὐτοῦ τὰ ξόανα συντρίψας, ὑπὲρ τῆς ἀληθείας ἠγωνίσατο, ἀθλητικῷ παραστήματι· μυρίας δὲ βασάνους ὑπομείνας, μυριόνικος στεφανίτης ἀναδέδεικται, τῇ χάριτι Χριστοῦ τοῦ Θεοῦ, ᾧ εὐλαβῶς βοῶμεν· Ὁ θαυμαστὸς ἐν τοῖς ἁγίοις σου Μάρτυσι, εὔσπλαγχνε Κύριε δόξα σοι.

Ἦχος β΄.

Τῆς εὐσεβοῦς λατρείας ἀντεχόμενος, τοῖς χειροποιήτοις θυσίαν οὐ προσένειμας, Στρατηλάτα Θεόδωρε· διὸ προσομιλήσας βασάνοις πολλαῖς, καὶ ἐν αὐταῖς θεϊκῇ δυναστείᾳ, ἀκμαιότερος ἀδάμαντος φανείς, τοῦ περὶ τὰ εἴδωλα μεμηνότος, Λικινίου τοῦ θηριώδους βασιλέως, τὸ μετέωρον θράσος ἐταπείνωσας· τῆς πίστεως δὲ ὕψωσας τὸ κέρας, καὶ ἑκατοστύος Μαρτύρων στεφηφόρων, νυμφαγωγὸς ἐγένου πρὸς τὴν ἄθλησιν. Ὅθεν ἀεὶ μετ᾽ αὐτῶν, ἐν ταῖς αὐλαῖς τῆς ζωῆς χοροβατῶν, ἐκτενῶς καθικέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος γ΄.

Τὴν ἀνδρείαν τοῦ σώματος, πίστει Χριστοῦ ἐνισχυόμενος, τῆς ἀληθείας τῷ ἐχθρῷ ἀντετάξω, Θεόδωρε πολυθαύμαστε, τοῦ φωτὸς τὰ ὅπλα περιφέρων, ὡς στρατηγὸς τῆς εὐσεβοῦς παρατάξεως· ἐντεῦθεν αὐτοῦ τὰς μυριάδας, νικητικῶς τροπωσάμενος, τῶν Ἀγγέλων τὰς τάξεις ἐξέπληξας, καὶ ἐν θριάμβῳ ὑπερκοσμίῳ, πρὸς τὴν ἀχειροποίητον πόλιν, τὴν ἄνω Ἱερουσαλὴμ ἀνελήλυθας. Ὅθεν μετὰ Μαρτύρων συγχορεύων, στεφανηφορῶν εὐκλεῶς, τῆς αἰωνίου ζωῆς τῷ διαδήματι, πρέσβευε τῷ Κυρίῳ ἐκτενῶς, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄.

Ἐν ὡραιότητι σώματος διαλάμπων, καὶ εὐφραδείᾳ λόγων διαπρέπων, ἐναντίον τοῦ ἀσεβοῦς βασιλέως, ὡς ῥήτωρ ῥητόρων τρανότερος, ἐπαῤῥησιάσθης τὴν πίστιν, τοῦ ἀληθινοῦ βασιλέως Χριστοῦ, Θεόδωρε μακάριε· ὅθεν τὰς λαμπάδας τοῦ πυρός, ὀστράκων τε τὰς κεντήσεις, καὶ τῶν σιδήρων τοὺς ξεσμούς, τὸν σταυρὸν καὶ τὴν σφαγήν, ὡς ἐν ἀλλοτρίῳ καθυπομείνας σώματι, ἀληθῶς ἐγένου μιμητὴς καὶ μαθητής, τοῦ δι᾽ ἡμᾶς ἐν Σταυρῷ ἀνυψωθέντος, καὶ κεντηθέντος λόγχῃ τὴν πλευράν. Ἀλλ᾽ ὡς παρ᾽ αὐτοῦ δοξασθείς, καὶ παῤῥησίας πλουτήσας χάριν, βοήθησον ἡμῖν ἐν ἀνάγκαις πειρασμῶν, καὶ δώρησον προσδοκίας τὰς δόσεις, ὡς εὐμενὴς ὑπάρχων τοῖς φωνοῦσί σε.

Ἦχος πλ. α΄.

Στρατηλάτα τοῦ οὐρανίου βασιλέως, μεγαλομάρτυς Θεόδωρε κράτιστε, τῇ παντευχίᾳ περιπεφραγμένος, τοῦ Σωτῆρος τῆς πίστεως, ὀλοθρευτὴς τῶν εἰδώλων τῆς πλάνης, ἀθλητικῇ συντονίᾳ ἐπῴφθης· καὶ σωτηρίου ἱμάτιον περιβέβλησαι, τοὺς δερματίνους τῆς νεκρώσεως χιτῶνας, ἐν τοῖς πόνοις τοῦ μαρτυρίου ἀποξέσας. Ὅθεν σήμερον οἱ πιστοί, εὐλαβῶς τιμῶντές σε κράζομεν· Ἐπίφανον οὐρανόθεν συμπαθέστατε, καὶ ἐπάκουσον τῆς φωνῆς τῶν προσκαλουμένων σε, τῶν ἀλγεινῶν τοῦ βίου συμφορῶν, ὁμαλίζων ἡμῖν τὴν τραχύτητα· σὲ γὰρ προστάτην, καὶ ἀντιλήπτορα σεπτόν, παμμάκαρ ἐπιγραφόμεθα.

Δόξα Πατρί. Ἦχος πλ. β΄.

Σήμερον ὁ στρατιώτης τοῦ μεγάλου Βασιλέως, Θεόδωρος ὁ παγκράτιστος, ἐπὶ τῇ πανσέπτῳ μνήμῃ αὐτοῦ, πρὸς εὐφροσύνην ἑόρτιον, τῶν πιστῶν συγκαλεῖ τὰ συστήματα. Δεῦτε οὖν ἀδελφοί, τοὺς ἄθλους αὐτοῦ καὶ τὰ τρόπαια, θαυμάζοντες βοήσωμεν· Χαίροις ὁ τῆς πλάνης τὰ εἴδωλα συντρίψας, καὶ ἐπὶ σφαγὴν ὡς ἀμώμητον θῦμα, μιμήσει εἰσαχθεὶς τοῦ Κυρίου σου· χαίροις ὁ ἐν συντονίᾳ Μαρτύρων, καθελὼν ἅπαν ὕψωμα πλάνης, κατὰ τῆς εὐσεβείας ἐπαιρόμενον· χαίροις ὁ θεόσδοτον δῶρον φανείς, τῆς Ἐκκλησίας τῷ πληρώματι, φερωνύμως ὦ Μαρτύρων σεμνολόγημα. Ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν πρὸς Θεόν, ἀπὸ γλώσσης δολίας, ἐξ ἀνθρώπων ἀδίκων, δυσμενῶν τε ἐπαγωγῆς, καὶ παντὸς κινδύνου διάσωσον ἡμᾶς, τοὺς καταφεύγοντας ἀεί, εὐλαβῶς τῇ προστασίᾳ σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός. Γερμανοῦ.

Ὁ ἐν χερσὶ πρεσβυτικαῖς, τὴν σήμερον ἡμέραν, ὡς ἐφ᾽ ἅρματος Χερουβίμ, ἀνακλιθῆναι εὐδοκήσας Χριστὲ ὁ Θεός, καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, τῆς τῶν παθῶν τυραννίδος, ἀνακαλούμενος ῥῦσαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ στρατιώτης Χριστοῦ, ὁ τροπωσάμενος ἐχθροῦ τὴν παράταξιν, τῷ ὅπλῳ τῆς εὐσεβείας, ὁ τῶν πιστῶν στηριγμός, ὁ πολλαῖς βασάνοις ὠνησάμενος, Θεοῦ τὴν οὐράνιον, βασιλείαν

www.tezaurliturgic.ro



Θεόδωρε, ἐν ᾗ χορεύων, καὶ μεθέξει θεούμενος, καὶ λαμπόμενος, καθαραῖς διαδόσεσι, μέμνησο τῶν τιμώντων σου, τὴν μνήμην τὴν ἔνδοξον, καὶ προσκυνούντων ἐν πίστει, τὴν τῶν λειψάνων σου λάρνακα, ἀφ' ἧς ἀναβλύζει, τοῖς αἰτοῦσιν εὐρωστία, καὶ μέγα ἔλεος.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Χαίροις ἡ ἱερὰ κεφαλή, τῶν Ἀθλοφόρων τὸ σεπτὸν ἀκροθίνιον, ὁ κόσμος τῆς Ἐκκλησίας, ὁ καθαιρέτης ἐχθροῦ, δωρεῶν ἐνθέων ὁ ἐπώνυμος· λαμπτὴρ τὴν ὑφήλιον, καταυγάζων τοῖς θαύμασι, στῦλος ὁ μέγας, διαμείνας ἀσάλευτος, ταῖς προσρήξεσι, τῶν ἀπείρων κολάσεων· λόγχῃ τῆς καρτερίας σου, ὁ κτείνας τὸν δράκοντα, ὁ ἀριστεύσας μεγάλως, ὡς στρατιώτης ἀήττητος. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου...

Ὅπλῳ τοῦ ζωηφόρου Σταυροῦ, τὴν τῶν εἰδώλων συντριβὴν ἐργασάμενος, μαστίγων ὑπέστης πεῖραν, καὶ ἐπὶ ξύλου ταθείς, σπαραγμοὺς παμμάκαρ ἐκαρτέρησας· ὑφ' ὧν συντριβόμενος, καὶ λαμπάσι φλεγόμενος, σταυρῷ ὑψώθης, τιτρωσκόμενος βέλεσι, καὶ τὰ ὄμματα, ὑπ' αὐτῶν ἐκτυφλούμενος· ὅθεν σε μακαρίζομεν, καλῶς ἐναθλήσαντα, καὶ οὐρανίων στεφάνων, ἐπιτυχόντα Θεόδωρε. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Τῶν τοῦ Θεοῦ δωρεῶν ὡς ἐπώνυμον, καὶ τῆς αὐτοῦ κληρονόμον μακαριότητος, πάντες εὐφημήσωμεν πιστοί, καὶ μακαρίσωμεν ἐπαξίως, Θεόδωρον τὸν γενναῖον μεγαλομάρτυρα, τῆς οἰκουμένης τὸν ὑπέρμαχον· πρεσβεύει γὰρ Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός. Ἀνδρέου Κρήτης.

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ, σήμερον τῷ θείῳ Ἱερῷ, κατὰ νόμον προσφερόμενος, πρεσβυτικαῖς ἐνθρονίζεται ἀγκάλαις· καὶ ὑπὸ Ἰωσὴφ εἰσδέχεται δῶρα θεοπρεπῶς, ὡς ζεῦγος τρυγόνων τὴν ἀμίαντον Ἐκκλησίαν, καὶ τῶν ἐθνῶν τὸν νεόλεκτον λαόν· περιστερῶν δὲ δύο νεοσσούς, ὡς ἀρχηγὸς Παλαιᾶς τε καὶ Καινῆς. Τοῦ πρὸς αὐτὸν χρησμοῦ δὲ Συμεών, τὸ πέρας δεξάμενος, εὐλογῶν τὴν Παρθένον, Θεοτόκον Μαρίαν, τὰ τοῦ πάθους σύμβολα, τοῦ ἐξ αὐτῆς προηγόρευσε· καὶ παρ' αὐτοῦ ἐξαιτεῖται τὴν ἀπόλυσιν βοῶν· Νῦν ἀπολύεις με Δέσποτα, καθὼς προεπηγγείλω μοι· ὅτι εἶδόν σε τὸ προαιώνιον φῶς, καὶ Σωτῆρα Κύριον τοῦ χριστωνύμου λαοῦ.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Στρατολογίᾳ ἀληθεῖ ἀθλοφόρε, τοῦ οὐρανίου στρατηγὸς Βασιλέως, περικαλλὴς γεγένησαι Θεόδωρε· ὅπλοις γὰρ τῆς πίστεως, παρετάξω ἐμφρόνως, καὶ κατεξωλόθρευσας, τῶν δαιμόνων τὰ στίφη, καὶ νικηφόρος ὤφθης ἀθλητής· ὅθεν σε πίστει ἀεὶ μακαρίζομεν.

Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν εἰδώλων μὴ θύσας, τοῖς ξοάνοις Θεόδωρε, ἀλλὰ καὶ συντρίψας πανσόφως, μαρτυρίῳ ἠρίστευσας, καὶ δῶρον φερωνύμως τῷ Θεῷ, προσήχθης ὡς κριὸς σφαγιασθείς· διὰ τοῦτο πρυτανεύεις χάριν ἀεί, τοῖς πόθῳ ἀναβοῶσι· Δόξα τῷ σὲ ἰσχύσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἰαμάτων δωρεάς, σοὶ χορηγήσαντι.

Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Χαῖρε κεχαριτωμένη, Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν, ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβῦτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις, τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Τὴν δόξαν παριδών, τῆς προσκαίρου στρατείας, τῆς ἄνω εὐκλεής, στρατηλάτης ἐδείχθης, ὡς μάρτυς ἀήττητος, διαπρέψας Θεόδωρε. Ὅθεν δύναμιν, πολλὴν θαυμάτων πλουτήσας, ἡμᾶς λύτρωσαι, ἀσθενειῶν τῶν κατ' ἄμφω, πιστῶς σοι προσπίπτοντας.

Δόξα Πατρί. Ὅμοιον.

Πταισμάτων ἐκ πολλῶν, ὑφορώμενοι θλίψεις, Θεόδωρε σοφέ, στρατηλάτα Κυρίου, εἰς σὲ

www.tezaurliturgic.ro



καταφεύγομεν, καὶ πιστῶς ἐκβοῶμέν σοι· Δεῦρο πρόφθασον, ὁ συμπαθὴς Ἀθλοφόρος, καὶ πρυτάνευσον, ἡμῖν χαρὰν καὶ εἰρήνην, ἁγίᾳ σου χάριτι.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὁ ὢν σὺν τῷ Πατρί, ἐπὶ θρόνου ἁγίου, ἐλθὼν ἐπὶ τῆς γῆς, ἐκ Παρθένου ἐτέχθη, καὶ βρέφος ἐγένετο, χρόνοις ὢν ἀπερίγραπτος· ὃν δεξάμενος, ὁ Συμεὼν ἐν ἀγκάλαις, χαίρων ἔλεγε· Νῦν ἀπολύεις Οἰκτίρμον, εὐφράνας τὸν δοῦλόν σου.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ μεγαλώνυμος Χριστοῦ ἀθλοφόρος, ὁ ἐπιπόθητος Θεῷ καὶ Ἀγγέλοις, ὁ θαυμαστὸς καὶ ἔνδοξος Θεόδωρος, πάσας τὰς ὑφ' ἥλιον, ἱερὰς Ἐκκλησίας, σήμερον τῷ Πνεύματι, τῷ Ἁγίῳ εὐφραίνει, καὶ ἑορτάζειν πάντας ἐν χαρᾷ, παρασκευάζει αὐτοῦ τὸ μνημόσυνον.

Δόξα Πατρί. Ὁ αὐτός. Ταχὺ προκατάλαβε.

Ὡς φοῖνιξ ὑψίκομος, ἐν ἄθλοις κατακομῶν, ἐν οἴκῳ ἐξήνθησας, Θεοῦ ἐκφέρων ἡμῖν, καρποὺς θείας χάριτος, ὧνπερ τῇ ἀποθλίψει, ποτιζόμενοι οἶνον, θεῖον ἀθανασίας, εὐλαβῶς σε ὑμνοῦμεν, Θεόδωρε τρισμάκαρ, Μαρτύρων ἀγλάϊσμα.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Σαρκὶ νηπιάσαντα, ἐξ ἀπειράνδρου Μητρός, χερσὶ γηραλέαις σου, ἀγκαλισθεὶς Συμεών, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἔλαβες τῆς ἐξόδου, τὴν ἀπόφασιν δόξῃ· εἴληφας τῶν θαυμάτων, τὴν ἀέναον χάριν· διό σε ἀξιοχρέως, πάντες δοξάζομεν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἑκατόμβην Μαρτύρων, Θεῷ προσήγαγες, καταυγασθέντας ἀγώνων, μαρτυρικῶν σου αὐγαῖς, Στρατηλάτα τοῦ Χριστοῦ, μάκαρ Θεόδωρε, μεθ' ὧν τοῦ ξύλου τῆς ζωῆς, ἀπολαύων ἐν Ἐδέμ, ἱκέτευε παῤῥησίᾳ, ὑπὲρ πάντων τῶν ἐκτελούντων, τὴν πανευφρόσυνόν σου μνήμην πιστῶς.

Δόξα Πατρί. Ὅμοιον.

Ἐκμιμούμενος Ἄβελ, τοῖς δώροις φέριστε, δῶρον σαυτὸν φερωνύμως, τῷ Λυτρωτῇ καθαρόν, ὡς ἀμνὸς σφαγιασθείς, σεπτῶς προσήγαγες, καὶ ἀναδέδειξαι Θεοῦ, δῶρον ἅγιον πιστοῖς, λυτρούμενος ταῖς εὐχαῖς σου, αὐτοὺς νόσων τε καὶ κινδύνων, καὶ τοῦ ἐχθροῦ τῆς ψυχολέθρου ὀργῆς.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἐν τῷ ναῷ προσηνέχθης, τὰ εἰθισμένα πληρῶν, ὁ Ποιητὴς καὶ Δεσπότης, καὶ ὁ τοῦ Νόμου δοτήρ, καὶ ἀγκάλαις Συμεὼν εὐδοκίᾳ τῇ σῇ, βασταχθῆναι ἐν σαρκί, ὁ τοῖς πᾶσι φοβερός, καὶ πᾶσαν κτίσιν συνέχων, ἠνέσχου μόνε οἰκτίρμον, τὸ φῶς σου πᾶσιν ἀποκαλύψας ἡμῖν.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει..

Εὐαγγέλιον, ζήτει τῇ κγ΄ Ἀπριλίου.

Ὁ Ν΄. Δόξα Πατρί. Ταῖς τοῦ Ἀθλοφόρου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Ὅπλον Σταυροῦ, ὡς ῥομφαίαν Θεόδωρε, ἐν ταῖς ἁγίαις σου χερσὶ κατέχων, κατὰ τοῦ παλαμναίου ἠνδρίσω, καὶ τοῦτον ἀπέκτεινας, ῥωμαλεότητι ψυχῆς, ἐν πάλῃ τοῦ μαρτυρίου. Ὅθεν ἐν οὐρανοῖς δοξασθείς, ἀοράτῳ ἐνεργείᾳ, ἐπιστὰς ταῖς πρεσβείαις σου, αὐτοῦ τῆς κακίας λύτρωσαι ἡμᾶς, τοὺς πίστει τιμῶντάς σε, ὡς φωστῆρα τῆς οἰκουμένης καὶ πρόμαχον.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου καὶ οἱ Κανόνες τοῦ Ἁγίου. Κανὼν πρῶτος τοῦ Ἁγίου, φέρων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις τήνδε· «Εὐθυμίου».

Ὠδὴ α΄. Ἦχος δ΄. Τῷ ὁδηγήσαντι πάλαι.

Ὡς φερωνύμως τὴν κλῆσιν, προσειληφὼς ἄνωθεν, Μάρτυς Χριστοῦ τῶν δωρεῶν, δίδου μοι χάριν πρεσβείαις σου, τὴν εὐκλεῆ καὶ σεβάσμιον ἄθλησιν, κατακοσμῆσαί σου τερπνῶς, ἐνθέοις ᾄσμασιν.

Δόγμα θηρὸς ἀτιθάσσου, θεοστυγὲς σέβεσθαι, λίθους καὶ ξύλα τοὺς λαούς, καὶ θεραπεύειν τοὺς δαίμονας, τῇ Ἡρακλείᾳ ἐφύτευσεν ἔνδοξε, ἀλλὰ Θεόδωρε στεῤῥῶς, τοῦτον ἐπάτησας.

Σὺ τὴν ἐπίγειον πτύσας, τῶν δυσσεβῶν κράτιστε, στρατολογίαν καὶ ζωήν, τὴν τῶν Ἀγγέ-

www.tezaurliturgic.ro



λων ἐπόθησας, ὡς τῷ Θεῷ οἰκειοῦσάν σε, ἥσπερ οὖν καὶ τετευχὼς νῦν εὐωχεῖς, μάρτυς Θεόδωρε.

Θεοτοκίον.

Ἐκ φωτεινῆς σου νηδύος, ὁ τοῦ Πατρὸς Δέσποινα, Υἱὸς καὶ Λόγος ἀνασχών, τὴν κτίσιν πᾶσαν ἐφώτισε, θεογνωσίᾳ πανάχραντε· ὄντως γὰρ αἱ γενεαὶ τῶν γενεῶν, σὲ μακαρίζομεν.

Κανὼν δεύτερος τοῦ Ἁγίου, φέρων Ἀκροστιχίδα τήνδε· «Φερώνυμον δῶρόν σε τοῦ Θεοῦ σέβω», ἐν δὲ τοῖς Θεοτοκίοις «Νικολάου».

Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Φερωνυμίᾳ θεολήπτου κλήσεως, καλλωπιζόμενος, καὶ δωρεῶν θείων, θησαυρὸς δεικνύμενος, καὶ μαρτυρίου χάριτι, μάκαρ κεκοσμημένος, τοὺς ὑμνητάς σου χαρίτωσον, ὕμνοις σε τιμῶντας Θεόδωρε.

Ἔργῳ καὶ λόγῳ σου τὴν θεοδώρητον, κλῆσιν πιστούμενος, τὰς δωρεὰς νέμεις, δωρεὰν τοῖς χρῄζουσι· δώρημα πᾶν γὰρ τέλειον, ἄνωθεν καταβαῖνον, ἐκ τοῦ Πατρὸς προσδεχόμενος, ἅπαντας πλουτίζεις τιμῶντάς σε.

Ῥώμην θεόθεν νηπιόθεν πάνσοφε, λαβὼν καὶ σύνεσιν, πάθη σαρκὸς πάντα, πρότερον καὶ δαίμονας, ἀνδρείως καταβέβληκας· ὕστερον δὲ καθεῖλες, ἐχθρῶν τυράννων τὸ φρύαγμα, μάκαρ συμμαχίᾳ τοῦ Πνεύματος.

Ὡς ἐντρεχὴς καὶ νουνεχὴς καὶ φρόνιμος, κατεσοφίσω σοφῶς, τὸν σοφιστὴν μάκαρ, τῆς κακίας ῥήμασι, καὶ πράγμασι Λικίνιον, ἐδελέασας δείξας, νεκροῖς ξοάνοις λατρεύοντα, καὶ κεναῖς ἐλπίσι τρεφόμενον.

Θεοτοκίον.

Νῖκός μοι δίδου Παναγία ἄχραντε, τῷ καταφεύγοντι, ὑπὸ τὴν σὴν σκέπην, τῶν δεινῶν ἐξαίρουσα, ἀεί με ταῖς πρεσβείαις σου· καὶ γὰρ τέτοκας Λόγον, τὸν τῷ Πατρὶ συναΐδιον, ὁμοῦ τε τῷ Πνεύματι σύνθρονον.

Κανὼν πρῶτος. Ὠδὴ γ΄. Μὴ καυχάσθω ὁ καυχώμενος.

Τοῦ Κυρίου τὰ παθήματα, μαρτυρικῶς ἐμορφώθης πανεύφημε· καὶ γὰρ ἐν ξύλῳ ἐπανηρτήθης, καὶ ἥλοις τέτασαι, καὶ τοῖς τόξοις ἐλλογχευθείς, συνδεδόξασαι τῷ βραβευτῇ σου Χριστῷ.

Οἷα φοῖνιξ παμμακάριστε, κατακομῶν ἐν τοῖς ἄθλοις προσήνεγκας, καρποὺς γλυκεῖς τε τῶν σῶν ἀγώνων, Χριστῷ Θεόδωρε, οὓς ἐκθλίβοντες οἱ πιστοί, ποτιζόμεθα οἶνον εὐφρόσυνον.

Τὴν θεόσδοτον ἀνδρείαν σου, ἐνηχηθεὶς ὁ παράφρων Λικίνιος, μανεὶς ὑπούλως ὁ τάλας στέλλει, τοῦ συλλαβέσθαι σε, καὶ τὸν ἐκλεκτόν σου λαόν, ὃν ἐφώτισας ἐν τῷ Βαπτίσματι.

Θεοτοκίον.

Ὑπὲρ ἔννοιαν ἡ σύλληψις, καὶ ὑπὲρ λόγον ὁ τόκος σου πέφυκε· Θεὸν γὰρ ὄντως ἀνθρωπισθέντα, ἐκ σοῦ προήγαγες, πανυπέρτατε Μαριάμ· ὃν ἱκέτευε τοῦ σῶσαι πάντας ἡμᾶς.

Κανὼν δεύτερος. Οὐρανίας ἁψῖδος.

Νεανίας ὡραῖος, πανευπρεπὴς δέδειξαι, κάλλει καταλλήλως ἐμπρέπων, ψυχῆς καὶ σώματος, ὡραϊζόμενος, τῶν ἀρετῶν εὐμορφίᾳ, καὶ Μαρτύρων στίγμασι, καλλωπιζόμενος.

Ὑπὸ θείας προνοίας, ὁδηγηθεὶς ὥδευσας, τρίβον μαρτυρίου Δεσπότου, τοῦ τὴν καρδίαν σου, μάκαρ πλατύναντος, ταῖς δωρεαῖς τῶν χαρίτων, καὶ πρὸς τὴν οὐράνιον, κλῆσιν ἰθύναντος.

Μεγαλόφρονι γνώμῃ, περιφρονῶν πάνσοφε, πάντων τῶν ἡδέων τοῦ κόσμου, καὶ τῶν τοῦ βίου τερπνῶν, οὐδὲν προέκρινας, τῆς τοῦ Σωτῆρος ἀγάπης, ἀλλ' αὐτὸν ἐπόθησας, ψυχῆς εὐθύτητι.

Θεοτοκίον.

Ἱκετεύω σε μόνην, τὴν τὸν Θεὸν τέξασαν, τὸν εἰς εὐλογίαν κατάραν, τὴν πρὶν ἀμείψαντα, καὶ χρηματίσαντα, ὑπὲρ ἀνθρώπων κατάραν, Κόρη πανευλόγητε, καὶ κόσμον σώσαντα.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὡς δῶρον προσήνεγκας, τῷ ἐπὶ πάντων Θεῷ, σαυτὸν ὦ Θεόδωρε, ἀποτμηθεὶς ἀπηνῶς, τὴν πάνσεπτον κάραν σου. Ὅθεν νῦν ἐν ὑψίστοις, αὐλιζόμενος μάκαρ, πρέσβευε ὑπὲρ πάντων, τῶν ἐν πίστει τελούντων, τὴν μνήμην σου τὴν θείαν, καὶ ἀξιέπαινον.

Δόξα Πατρί. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ῥήτωρ ἐν ῥήτορσι, μάρτυς ἐν Μάρτυσι, πράξει τῶν λόγων σου, καὶ τῶν ἀγώνων φανείς, ὡς θριαμβεύσας τὸν ἐχθρόν, παμμάκαρ ἐξ ἀμφοτέρων, γέγονας φερώνυμον, θεῖον δῶρον τοῖς ἔχου-

www.tezaurliturgic.ro



σι, πιστῶν καταφύγιον, καὶ παθῶν ὀλετήριον· διό σε κατὰ χρέος δοξάζει, μάρτυς Θεόδωρε τὰ πέρατα.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἐκ τῆς Παρθένου σε, σωματωθέντα Χριστέ, χαίρων ἐδέξατο, ὁ ἱερὸς Συμεών, Νῦν ἀπολύεις ἐκβοῶν, τὸν δοῦλόν σου ὦ Δέσποτα· Ἄννα δὲ ἡ ἄμεμπτος, ἡ προφῆτις καὶ ἔνδοξος, τὴν ἀνθομολόγησιν, καὶ τὸν ὕμνον προσῆγέ σοι· ἡμεῖς δὲ ζωοδότα βοῶμέν σοι· Δόξα τῷ οὕτως εὐδοκήσαντι.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Ἀκήκοεν ὁ Προφήτης.

Κατὰ Μωσέα τὸν μέγαν, θεοφανείας ἔτυχες Μάρτυς Κυρίου· τῷ οἰκίσκῳ γὰρ σχολάζοντι, οὐρανόθεν ἤχθη σοι φωνὴ ὡς βολίς, πυρὸς λέγουσα· Θάρσει· μετὰ σοῦ γὰρ εἰμί.

Τοῦ Ἰησοῦ στρατηγέτα, τὸ τοῦ Ναυῒ ἠρίστευσαι ταῖς ἀριστείαις· τὰ τεμένη γὰρ κατέαξας, τῶν δαιμόνων συντρίψας τοὺς οἰκοῦντας θεούς, ὡς πόλεις ἐθνῶν, ῥώμῃ κραταιᾷ τοῦ Χριστοῦ.

Τὸν Γεδεὼν ἐν τῇ πίστει, εἰσδὺς εἰς τὸ στράτευμα τῶν μισοχρίστων, ὑπερέβαλες φερώνυμε, τῇ Τριάδι τούτους τροπωσάμενος, τῆς ἑκατοστύος, τῶν σὺν σοὶ Μαρτύρων Χριστοῦ.

Θεοτοκίον.

Θεοῦ σε πύλην καὶ θρόνον, ναὸν καὶ στάμνον ἅγιον φωτὸς νεφέλην, καὶ χρυσοῦν θυμιατήριον, οἱ Προφῆται πάντες ἐμελῴδησαν, ἡμεῖς δέ σε νῦν, Θεοτόκον παναληθῆ.

Κανὼν δεύτερος. Σύ μου ἰσχύς.

Ὁ πρὸς Θεόν, πόθος σου πᾶσαν ἠμαύρωσε, προσπαθείας, ὕλην παμμακάριστε, δόξαν τερπνὴν πλοῦτον καὶ τρυφήν, καὶ περιφανείας, τὸ περιβόητον ὕψωμα· ἐντεῦθεν ἀνυψώθης, πρὸς περίβλεπτον ὕψος, μαρτυρίου πρὸς δόξαν ἀμάραντον.

Νόμῳ καινῷ, ζωοποιοῦντι τῷ Πνεύματι, πεφραγμένος, νόμον ἀνομώτατον, παρανομούντων νεανικῶς, ἀνέτρεψας μάκαρ· διὸ νομίμως ἐνήθλησας, καὶ στέφος ἀνεδήσω, τὸ τῆς δικαιοσύνης, ἐκ χειρὸς τοῦ Δεσπότου Θεόδωρε.

Δῶρον Θεοῦ, δέδοσαι κόσμῳ φερώνυμον, δῶρον θεῖον, δῶρον ἀξιέραστον, δῶρον πλουτίζον πάντα πιστόν, δῶρον δεχομένοις, γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα, τὸ πᾶσι καταπέμπον, καταλλήλως τὰς δόσεις, καὶ πληροῦν τὰς αἰτήσεις τῶν δούλων σου.

Ὡς μιμητής, τοῦ προσπαγέντος ἐν ξύλῳ Χριστοῦ, μετὰ πᾶσαν, αἰκίαν τοῦ σώματος, μετὰ πολλὰς στρέβλας πονηράς, τὰς τῶν μιαιφόνων, χριστομιμήτως ἐτάθης σταυρῷ, καὶ βέλεσι ἐτρώθης, καὶ δεινῶς συνεκόπης· ἀλλ᾽ ἐῤῥύσθης ἐκ τούτων δυνάμει Χριστοῦ.

Θεοτοκίον.

Καλλοποιόν, καὶ γῆς Δεσπότην κυήσασαν, ἀποῤῥήτῳ, τόκῳ κατὰ χρέος σε, πάντες πιστοὶ γλώσσῃ καὶ ψυχῇ, κόσμου Βασιλίδα, καὶ Δέσποιναν ὀνομάζομεν· διὸ τῆς τυραννούσης, πονηρᾶς συνηθείας, ἐλευθέρωσον τοὺς σὲ γεραίροντας.

Κανὼν πρῶτος. Ὠδὴ ε΄. Ἀνάτειλόν μοι Κύριε.

Συνέσει θείᾳ φέριστε, Θεόδωρε κοσμούμενος, τοῦ μανιώδους κατεφρόνησας, τυράννου τῆς ἀλόγου, προσταγῆς ὡς βέβηλον, τὴν αὐτοῦ δυσσέβειαν, στηλιτεύων πανταχοῦ.

Φρυκώμενος ὁ ἄνομος, ὡς λέων θηριώτατος, διακενῆς θεομαχούμενος, ὁ Μάρτυς ἀνεβόα· Ἀλλ᾽ ἐγὼ φαιδρύνομαι, καὶ ψυχῇ καὶ σώματι, τὸν Χριστὸν ὁμολογῶ.

Τὸν Ἄβελ ἐκμιμούμενος, τοῖς δώροις ἡλιόμορφε, θῦμα δεκτὸν σαυτὸν προσήγαγες, Θεόδωρε Κυρίῳ, ἱερὸν καὶ ἄμωμον, καὶ ὁλοκαυτούμενον, τῶν βασάνων τῷ πυρί.

Θεοτοκίον.

Ὑπάρχουσα πανθαύμαστε, Παρθένος πῶς ἐν μήτρᾳ σου, ἀγεωργήτως ἀπεκύησας, Χριστὸν τὸν βασιλέα; ὡς αὐτὸς ἐπίσταται, ὁ Θεὸς καὶ ἄνθρωπος, προελθὼν ὑπερφυῶς.

Κανὼν δεύτερος. Ἵνα τί με ἀπώσω.

Ῥητορεύεις τὴν δόξαν, ἔνδοξε Θεόδωρε σὺν παῤῥησίᾳ πολλῇ, τοῦ σαρκὶ παθόντος, καὶ θανάτῳ τὸν θάνατον λύσαντος, καὶ μαστίγων πεῖραν, πολλῶν λαβὼν λύσσῃ τυράννου, σταυρικὴν καταδίκην ὑπήνεγκας.

Ὁλοτρόπῳ προθέσει, σταύρωσιν ἑκούσιον Χριστοῦ μιμούμενος, τὴν αὐτὴν ὑπέστης, τιμωρίαν σταυρῷ προσηλούμενος· ἀντὶ δὲ τῆς λόγχης, βελῶν πολλῶν πληγὰς ἐδέξω, ὀφθαλμῶν κόρας τε ἐξορυττόμενος.

www.tezaurliturgic.ro



Νικηφόρος ὡράθης, ἄρτιος ὁλόκληρος μετὰ τὴν σταύρωσιν, καὶ τὴν ἄλλην πᾶσαν, τῶν μελῶν συγκοπήν τε καὶ νέκρωσιν· ὁ νικήσας κόσμον· σὲ γὰρ Χριστὸς χειρὶ Ἀγγέλου, ὡς ζωῆς ἀρχηγὸς ἀνεζώωσε.

Συνιδόντα τὰ πλήθη, τὸ ἐν σοὶ γενόμενον θαῦμα Θεόδωρε, τὴν φωνὴν ἐπῆραν, μεγαλύνοντα Χριστοῦ τὴν δύναμιν· τοῦ δὲ λυμεῶνος, καὶ ἀλαζόνος Λικινίου, στηλιτεύοντα λύσσαν τὴν ἄλογον.

Θεοτοκίον.

Ὅλον τέτοκας Κόρη, τὸ φῶς τὸ αἰώνιον τοῖς ἀνυμνοῦσί σε, τὸν Χριστὸν ἀσπόρως, σωματώσασα ὃν ἐξιλέωσαι, τοῦ σωθῆναι πάντας, ἐκ πειρασμῶν τοῦ ἀλλοτρίου, Παναγία Παρθένε θεόνυμφε.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Ἐν πελάγει τοῦ βίου.

Ἐκ πελάγους καὶ ζάλης, εἰδωλοθύτων, αἱμάτων ἀνήχθης, ὡς ὁ Προφήτης Ἀθλητὰ κραυγάζει· Ἴδε ἔτι ὡς θῆρες, ἀγρίως κατέλυσάν μου, ὁ Θεὸς διὰ σὲ τὸ σῶμα.

Ἐξ ἀνθῶν πολυχρόων, φλογῆς ὀστράκων, ὀνύχων σιδηρῶν, ὁ βραβευτής σου Ἰησοῦς τὸ στέφος, ἡτοιμάσατο Μάρτυς, τῆς νίκης τὰ ἔπαθλα, διὰ σοῦ ἐξ οὐρανοῦ παρέχων.

Ζηλωτὴς πορνοκτόνος, τῆς ἀθεΐας, τῶν εἰδωλομανῶν, σὺ ἀνεδείχθης Ἀθλοφόρε ἄλλος, ἐκκεντήσας τὴν πλάνην, καὶ στήσας τῷ σειρομάστῃ, τοῦ Χριστοῦ τῶν πιστῶν τὴν θραῦσιν.

Θεοτοκίον.

Μορφωθέντος σου Λόγε, τὴν ἀνθρωπίνην, οὐσίαν συμπαθῶς, τὴν δι᾽ ἀπάτης συσχεθεῖσαν τῇ φθορᾷ, ἀναπλάττεις καὶ σῴζεις, γενάρχης ὡς παντουργέτης, καὶ Θεὸς ἐκ Μητρὸς ἁγίας.

Κανὼν δεύτερος. Ἱλάσθητί μοι Σωτήρ.

Ἐξέλαμψας ἀρεταῖς, καὶ διδαχαῖς διὰ βίου σου· ἐξήστραψας δὲ λαμπροῖς, ἀγῶσι Θεόδωρε, καὶ νῦν περιβόητος, ἐν θαυματουργίαις, καὶ θερμὸς προστάτης πέφηνας.

Τοῖς κάμνουσιν ἰατρός, τοῖς αἰχμαλώτοις ἀνάρρυσις, μεσίτης ἁμαρτωλοῖς, ὑπευθύνων ἄφεσις, πενθοῦσι παράκλησις, πρὸς Θεοῦ ἐδόθης, συμπαθέστατε Θεόδωρε.

Οὐκ ἔστι κόρος τῶν σῶν, καλῶν ἀπείρων Θεόδωρε, οὐδὲ τῆς σῆς καλλονῆς, σταθμὸς ἰσοστάσιος· διὸ τὸν διάπυρον, πόθον μου προσδέχου, χορηγῶν μοι χάριν ἄφθονον.

Θεοτοκίον.

Λαμψάτω νῦν ἐπ᾽ ἐμέ, ἡ ἄφατος εὐσπλαγχνία σου, βυθοῦ με ἁμαρτιῶν, καὶ τῆς ἀπογνώσεως, Κόρη ἀπαλλάττουσα, καὶ πρὸς μετανοίας, τοὺς λιμένας ἐμβιβάζουσα.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἀνδρείᾳ ψυχῆς, τὴν πίστιν ὁπλισάμενος, καὶ ῥῆμα Θεοῦ, ὡς λόγχην χειρωσάμενος, τὸν ἐχθρὸν κατέτρωσας, τῶν Μαρτύρων κλέος Θεόδωρε· σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων μὴ παύσῃ, ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Τῶν Ἀθλητῶν τὸ ἔκλαμπρον κάλλος, δεῦτε πάντες τῶν ὕμνων τοῖς στεφάνοις, Θεόδωρον καταστέψωμεν· δῶρον Θεοῦ γὰρ μέγα τῷ κόσμῳ ἀναδέδεικται, λάμψεσι ταῖς τῶν θαυμάτων· τὸν γὰρ ἐχθρὸν ἐκνικήσας βελίαρ ἄθλοις σεπτοῖς, ὀμβρίζει ἀντὶ αἱμάτων, κρουνηδὸν ἰαμάτων τὰ ῥεύματα. Ἐν τούτοις οὖν πᾶσι χαίρει Χριστῷ, καὶ δίδωσι εἰρήνην ἀνέκλειπτον· διὸ βοῶμεν αὐτῷ· Πρεσβεύων μὴ παύσῃ, ὑπὲρ πάντων ἡμῶν.

Μηνολόγιον.

Τῇ Η΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου.

Στίχοι.

Ὢν Θεόδωρος ἀξίας Στρατηλάτης
Ὑπῆρξε τμηθεὶς τοῦ Θεοῦ Στρατηλάτης.

Ὄμβριμον ὀγδοάτῃ Θεοδώρου αὐχένα κόψαν.

Συναξάριον.

Οὗτος κατὰ τοὺς χρόνους ἦν Λικινίου τοῦ βασιλέως, τὸ γένος ἕλκων ἐκ τῶν Εὐχαΐτων, τὴν δὲ οἴκησιν ποιούμενος ἐν τῇ πρὸς Πόντον Ἡρακλείᾳ. Κάλλει δὲ ψυχῆς καὶ ὥρᾳ σώματος καὶ κράτει λόγων τῶν πολλῶν ὑπερεῖχε. Πάντες δὲ ἐφιλοτιμοῦντο τὴν αὐτοῦ φιλίαν καρποῦσθαι. Ταύτῃ τοι καὶ Λικίνιος περὶ πολλοῦ ἐποιεῖτο συντυχεῖν αὐτῷ, καίπερ ἀκούσας Χριστιανὸν αὐτὸν εἶναι, καὶ τοὺς λεγομένους θεοὺς βδελύττεσθαι. Διὸ καί τινας ἐκ Νικομηδείας τῆς αὐτοῦ τάξεως ἀποστείλας, ἐντίμως ἀγαγεῖν αὐτοῖς τὸν Μάρτυρα προσέταξεν. Ὡς δὲ ὑπέστρεψαν, τὸν μακάριον Θεόδωρον λέγοντες ἀντειπεῖν, ὡς χρὴ τὸν βασιλέα μᾶλλον παραγενέσθαι μετὰ τῶν μειζόνων αὐτοῦ θεῶν, εὐθὺς τὸν βασιλέα ἡ Ἡράκλεια εἶχεν.

Ὁ ἅγιος Θεόδωρος, ὄψεσι νυκτεριναῖς, θεόθεν αὐτῷ ἐκπεμφθείσαις, προθυμοποιηθείς, ἐπεὶ τὸν Λικίνιον ἤδη πλησιάζοντα ἐπύθετο, ὑπήντησεν αὐτῷ καὶ τὰ εἰκότα ἐτίμησεν. Ὁ δέ, δεξιὰν αὐτῷ δοὺς καὶ κατασπασάμενος, εἰσελθὼν ἐν τῇ πόλει, καὶ ἐφ᾽ ὑψη-

www.tezaurliturgic.ro



λοῦ βήματος προκαθίσας, τὸν μακάριον Θεόδωρον προετρέπετο τοῖς ἑαυτοῦ θεοῖς θυσίαν προσενεγκεῖν. Ὁ δὲ Ἅγιος, τοὺς ἐπισημοτέρους θεοὺς ἐξαιτησάμενος, ὡς ἂν αὐτοὺς οἴκοι πρότερον θεραπεύσας, αὖθις δημοσίᾳ προσαγάγῃ αὐτοῖς σπονδάς, ἐπειδή, κελεύσαντος τοῦ βασιλέως, τοὺς χρυσοῦς καὶ ἀργυροῦς ἔλαβε, κατὰ τὸ μέσον τῆς νυκτὸς συνέτριψεν αὐτούς· καὶ λεπτύνας, τοῖς ἐνδεέσι καὶ πένησι δέδωκε.

Μεθ᾽ ἡμέραν δέ, Μαξεντίου τοῦ Κομενταρησίου εἰπόντος, ἰδεῖν τὴν κεφαλὴν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος, ὑπὸ πτωχοῦ τινος περιφερομένην, εὐθέως ἀνάρπαστος ὑπὸ τὸν δορυφόρων ὁ Ἅγιος γίνεται, τοῦ Λικινίου ἐξειπόντος. Καὶ πρῶτον μὲν ἀποδυθείς, ἐκ τεσσάρων ὁ Ἅγιος τείνεται καὶ νεύροις βοῶν κατὰ τὸν νῶτον πληγὰς ἑπτακοσίας δέχεται καὶ πεντήκοντα κατὰ τῆς γαστρός καὶ σφαίραις μολυβδίναις κατὰ τοῦ τένοντος τύπτεται. Εἶτα ξέεται, λαμπάσι καταφλέγεται καὶ κεκαυμένας πληγὰς ἀνατρίβεται καὶ ἐν τῇ εἱρκτῇ ἀποῤῥίπτεται, τοὺς πόδας ἀσφαλισθεὶς ἐν τῷ ξύλῳ.

Διαμείνας δὲ ἀπρόσιτος ἐν αὐτῇ ἐπὶ ἡμέρας ἑπτά, αὖθις ἐξάγεται, καὶ σταυρῷ καταπήγνυται χεῖρας καὶ πόδας καὶ περόνην κατὰ τοῦ κρυφίου πόρου δέχεται, μέχρι καὶ τῶν ἐγκάτων ἐν τῷ διελαύνεσθαι φθάσασαν. Περιειστήκεισαν δὲ καὶ παῖδες, τοξεύοντες τὸν Ἅγιον κατὰ τοῦ προσώπου καὶ τῶν ὀφθαλμῶν αὐτοῦ· ταῖς δὲ βολίσι τῶν βελῶν, τῶν κρουόντων κατὰ τῶν ὀφθαλμῶν, ἐξέπεσον αἱ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ. Ἕτεροι δέ, ἐγκαρσίοις τομαῖς κατὰ τῶν κεκρυμμένων μορίων διελάσαντες, τὰ σπερμογόνα συνεξέτεμον μέλη. Ἐν δὲ τῷ σταυρῷ τὴν νύκτα διαγαγόντος, ἐνόμισεν ὁ Λικίνιος, ὅτι ἤδη τέθνηκεν, ἠπατᾶτο δέ· ὑπὸ γὰρ θείου Ἀγγέλου ἀπελύθη τῶν δεσμῶν καὶ ὅλος γέγονεν ὑγιής, καὶ ἦν ψάλλων καὶ εὐλογῶν τὸν Θεόν.

Ἤδη δὲ τῆς ἡμέρας διαφαινούσης, ἀπέστειλεν ὁ Λικίνιος τοῦ ἆραι τὸ τοῦ Μάρτυρος σῶμα καὶ ῥιφῆναι ἐν τῇ θαλάσσῃ. Φθάσαντες οὖν οἱ σταλέντες καὶ ὡς εἶδον τὸν Ἅγιον ἔτι ἐμπνέοντα καὶ ὅλον ὑγιῆ, ἐπίστευσαν τῷ Χριστῷ, ἄνδρες ὄντες τὸν ἀριθμόν, ὡσεὶ πέντε καὶ ὀγδοήκοντα· καὶ μετὰ τούτους, ἕτεροι τριακόσιοι στρατιῶται, ὧν ἐξηγεῖτο ὁ ἀνθύπατος Κέστης, οἵτινες ἐπὶ τῇ ἀναιρέσει τῶν πρώτων σταλέντες καὶ αὐτοὶ ἐπίστευσαν τῷ Χριστῷ.

Ἰδὼν δὲ ὁ Λικίνιος τὴν πόλιν θορυβουμένην, ἐκέλευσε τὴν κεφαλὴν τοῦ Ἁγίου ἀποτμηθῆναι· ἔνθα δὴ εἱστήκεισαν τῶν Χριστιανῶν πλήθη πάμπολλα καὶ διεκώλυον αὐτούς. Μόλις οὖν ὁ Ἅγιος καταπαύσας αὐτοὺς καὶ τῷ Χριστῷ ἐπευξάμενος, τέμνεται τὴν κεφαλήν, τὸν δρόμον τοῦ μαρτυρίου τελέσας. Μετετέθη δὲ ἀπὸ τῆς Ἡρακλείας ἐν τοῖς Εὐχαΐτοις ἐν τῷ γονικῷ αὐτοῦ οἰκήματι, καθὼς Αὐγάρῳ τῷ ταχυγράφῳ αὐτοῦ ὁ Μάρτυς διεκελεύσατο. Ὃς πᾶσαν αὐτοῦ τὴν ἄθλησιν, συνὼν αὐτῷ καὶ κατὰ μέρος πεύσεις καὶ ἀποκρίσεις καὶ τὰ ποικίλα τῶν βασάνων εἴδη καὶ τὰς θεόθεν ἐπιστασίας καὶ ἀντιλήψεις, πλατύτερον διεχάραξεν ἐν τῷ μαρτυρίῳ αὐτοῦ.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Τῇ εἰκόνι τῇ χρυσῇ.

Τοῖς εἰδώλοις τοῖς χρυσοῖς, τοῦ Λικινίου μὴ θύσας, ἀλλὰ καὶ θλάσας ἐδοκιμάσθης, οἷα χρυσὸς ὡς ἐν τῇ χωνείᾳ, τῶν λαμπάδων τοῦ πυρός, καὶ τῶν σιδήρων τοῖς ξεσμοῖς, καὶ τῶν ὀστράκων τόξοις, καὶ εὐριζώθης σοφέ, ψυχῇ καὶ σώματι.

Τῷ σταυρῷ καὶ ταῖς σφαγαῖς, καὶ τῇ τῶν τόξων ἐπάρσει, τὸ σῶμα ὅλον κατασταχθεὶς παμμάκαρ, τοῦ Ἰησοῦ ἀληθῶς ἐγένου, μαθητὴς καὶ μιμητής, Μεγαλομάρτυς τὸ στεῤῥόν, δεικνύων τοῖς ἀνόμοις, τῆς πρὸς αὐτόν σου ἀεί, ἀγάπης εἰλικρινοῦς.

Καταχρέως σου πιστῶς, τὴν θείαν μνήμην τελοῦντες, Μάρτυς Κυρίου ἀξιοθαύμαστε, ἐν τῷ ναῷ σου εὐσεβοφρόνως, ἀσπαζόμεθα ἀεί, τὴν σορὸν καὶ τὴν ταφήν, τῶν λειψάνων τῶν θείων, ἐξ ὧν πηγάζεις ἡμῖν, ἰάσεων δωρεάς.

Θεοτοκίον.

Τὸν Σωτῆρα καὶ Θεόν, καὶ Λυτρωτὴν καὶ Δεσπότην, σαρκὶ τεκοῦσα πάναγνε Δέσποινα, τοῦτον ἀεὶ ἄχραντε δυσώπει, ὅπως λύσιν τῶν δεινῶν, καὶ παθῶν ἀπαλλαγήν, πάντες ἡμεῖς λάβωμεν, ὑμνολογοῦντες αὐτοῦ, τοὺς ὑπὲρ νοῦν οἰκτιρμούς.

Κανὼν δεύτερος. Θεοῦ συγκατάβασιν.

Ὑψούμενον Κύριον, ἐπὶ τοῦ ξύλου καὶ καταῤῥάξαντα, τὸν μεγάλαυχον ὄφιν, κατανοήσας συνανυψώθης αὐτῷ, χριστομιμήτως ἐν σταυρῷ καὶ θάνατον, ὑπενεγκὼν Ἀθλητά, συνεξανέστης αὐτῷ.

Θεοῦ σε Θεόδωρε, τῆς ἀκηράτου δόξης θερμὸν ἐραστήν, ἐγνωκὼς τῷ σῷ πόθῳ, ὁλοκαρδίως ψυχὴν προσέδησα, τὴν προσδοκίαν πᾶσαν τῆς ἐλπίδος μου, ἀνατεθεὶς ἐπὶ σοί· μὴ ὑπερίδῃς με.

Ἐδόξασας Κύριον, τοῖς μέλεσί σου ἐνδοξαζόμενον, ἐν βουλαῖς τῶν Ἁγίων, τὸν σὲ μεγάλως ἀντιδοξάσαντα, τερατουργίαις καὶ ποικίλοις θαύμασι, καὶ περιόντα τῇ γῇ, καὶ μετὰ τέλος σοφέ.

Θεοτοκίον.

Ἁγίων τὸν Ἅγιον, τέτοκας μόνη θεοχαρίτωτε, ἀποῤῥήτῳ κυήσει· καὶ γὰρ Παρθένος ἔμεινας ἄχραντε, ὡς πρὸ τοῦ τόκου· διό σοι κραυγάζομεν, τὴν τοῦ Ἀγγέλου φωνήν, εὐλογημένη Ἁγνή.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Τὰ σύμπαντα Δέσποτα.

Ὁ τύραννος πέπτωκε, καὶ κατῃσχύνθη ὁ Βελίαρ, ὅτι περ τὰ εἴδωλα, ὁ Μάρτυς τοῦ Κυρίου, λεπτύνας κατέαξε, καὶ τοῖς πένησι νύκτωρ, διαδοὺς ἀποφέρει, ὡς ἀναίσθητα, μᾶλλον δὲ ὑπὲρ ταῦτα τοῖς ταῦτα, ἀλόγως οὖν σέβουσιν.

Σοῦ τὸ καρτερώτατον, καταπλαγείς τε ὁ Λικίνιος, παῖδας ἐπενόησεν, τοξεύειν σε πανούργως, Θεόδωρε ἅγιε, ἐκπλαγέντα τῷ ξύλῳ, καὶ τὰς κόρας ἐκσπῶν σου, σὺν τοῖς βέλεσι· ἀλλ᾽ αὐτὸς εὐχαρίστως ἀνύμνεις, ἐν πίστει τὸν Κύριον.

Νομίσας τεθνάναι σε, ὁ νεκρωτὴς τῆς εὐσεβείας, ἔστειλε λαβέσθαι σου, τὸ σῶμα Ἀθλοφόρε,

www.tezaurliturgic.ro



τοῖς περὶ ᾿Αντίοχον, καὶ σὲ ζῶντα εὑρόντες, καὶ ἠγάλλοντο λίαν, τὴν σὴν ἔγερσιν· ὁ Χριστὸς ὄντως μέγας ὑπάρχει, προθύμως ἐκραύγαζον.

Θεοτοκίον.

Ὁ Κτίστης καὶ Κύριος, καὶ Βασιλεὺς δι᾿ εὐσπλαγχνίαν, τίκτεται καὶ τρέφεται, ἐκ Κόρης ἀπειράνδρου, καὶ αὔξησιν δέχεται, ὁ παντέλειος ὄντως, ἵνα δείξῃ τῶν δύο, αὐτοῦ φύσεων, τὴν ἑνότητα φέρειν ἀφθάρτως, Θεὸς ὢν καὶ ἄνθρωπος.

Κανὼν δεύτερος. Ἑπταπλασίως κάμινον.

Ὁ λυμεὼν Λικίνιος, ὁ λυσσώδης καὶ βέβηλος, ὅλον ἑαυτόν, ὁλοτελῶς τοῖς δαίμοσι, ἐκδοὺς ὑποβάλλει σε, τιμωριῶν ποικίλων ποιναῖς· νῶτον καὶ τὸ στῆθος, τοῖς βουνεύροις συγκόπτων, ἐν σφαίραις μολυβδίναις, τὸν αὐχένα συντρίβων, πλευρὰς ὄνυξι ξαίνων, καὶ φλέγων ταῖς λαμπάσιν.

Ὑπομονὴν ἀνένδοτον, καρτερίαν ἀνάλωτον, καὶ ὑπερφυῆ, ἀνδρείαν ἐνδειξάμενος, ποικίλαις κολάσεσι, καὶ χαλεπαῖς στρεβλώσεσι, πάντων τῶν Μαρτύρων, ὑπερέβης τοὺς ἄθλους· παθῶν Δεσποτικῶν δέ, τῷ σταυρῷ κοινωνήσας, καὶ πλέον ὑπομείνας, μειζόνως ἐδοξάσθης.

Σταυρῷ ταθεὶς Θεόδωρε, τὰ Χριστοῦ ὑστερήματα, ἐν σαρκὶ οἰκείᾳ, ἐκπληροῖς τῶν θλίψεων· οὐ χεῖρας καὶ πόδας γάρ, μόνον προσηλωθεὶς καρτερεῖς, ἀλλὰ καὶ περόνῃ, σιδηρᾷ διεπάρης, τὸ κρύφιόν σου μέλος, ἐκτμηθεὶς τοὺς διδύμους, καὶ βέλεσιν ὀμμάτων, ἐξορυχθεὶς τὰς κόρας.

Θεοτοκίον.

Οὐρανομήκη κλίμακα, νοητήν σε γινώσκομεν, δι᾿ ἧς καταβάς, μετὰ σαρκὸς ὁ Ὕψιστος, ἀνθρώποις ὡμίλησε, καὶ ταπεινοὺς ἀνύψωσε, πρὸς τὴν ὑψηλήν, τῶν οὐρανῶν πολιτείαν· ἐντεῦθεν ἀνωτέραν, οὐρανῶν καὶ ᾿Αγγέλων, καὶ πάντων ποιημάτων, τιμῶμέν σε Παρθένε.

Κανὼν πρῶτος. ᾿Ωδὴ θ΄. ᾿Εποίησε κράτος.

Ἐποίησε νῖκος, ὁ ὁπλίτης τοῦ Χριστοῦ, συντρίψας σθένει τόξα τῶν ἀνόμων, καὶ ἤλεγξεν ἀσεβῶν, τὴν ἐπίνοιαν στεῤῥῶς, μεθ᾿ ὧν τὰς παγίδας τοῦ ἐχθροῦ, πεπατηκὼς ὑψώθη, κατευθύνας ἑαυτόν, ἐν τῷ μαρτυρίῳ.

Παθῶν ᾿Αθλοφόρε, τὸν σταυρὸν καὶ τὰς σφαγάς, τὰ τόξα καὶ τὰς ξέσεις τῶν μελῶν σου, τὰ τύμματα τὰ πικρά, τῶν βουνεύρων καὶ τὸ πῦρ, ὑπὲρ τοῦ παθόντος δι᾿ ἡμᾶς, Χριστῷ συνεδοξάσθης, εἰς αἰῶνας σὺν αὐτῷ, καὶ συμβασιλεύων.

Τὸν δρόμον τελέσας, τῆς ἀθλήσεως Χριστοῦ, τὴν πίστιν δὲ τηρήσας ὡς ὁ Παῦλος, ἐτμήθης τὴν κεφαλήν, Στρατηλάτα εὐκλεῶς· διὸ καὶ ὑψόθεν ἐκ Θεοῦ, τὸ στέφος ἐπαξίως, εἰληφὼς συγχορευτής, πέλεις τῶν ᾿Αγγέλων.

Θεοτοκίον.

Ὑψώσωμεν ὕμνοις, οἱ βροτοὶ φιλευσεβῶς, ὡς πάντων ἀνωτέραν τῶν κτισμάτων, τὴν μόνην ἐν γυναιξί, παντευλόγητον Ἁγνήν· σωτηρία γὰρ καὶ ἱλασμός, καταφυγὴ καὶ σκέπη, ἐγενήθη τοῖς πιστοῖς, ὡς Θεὸν τεκοῦσα.

Κανὼν δεύτερος. ᾿Εξέστη ἐπὶ τούτῳ.

Ἐξέστη τῶν ᾿Αγγέλων δῆμος τὴν σήν, Στρατηλάτα τηρῶν γενναιότητα· πᾶς ὁ παρών, ὄχλος κατεπλάγη τότε τὰς σάς, ἀνδραγαθίας ἔνδοξε, ἔφριξε δαιμόνων ἡ στρατιά, τὰ σὰ τρόπαια· νῦν δέ, κροτεῖ κόσμος τὰ γέρα, καὶ πᾶς πιστὸς ὑμνεῖ τὰ θαύματα.

Βοᾶται παρὰ πάσης σχεδὸν πνοῆς, τὰ πολλά σου καὶ μέγιστα τρόπαια, τὰ ἐπὶ σοί, τέρατα δειχθέντα καὶ διὰ σοῦ, ἡ ἐκ νεκρῶν ἀνέγερσις, ἡ ὁλοκληρία ἐκ συντριβῆς, ἡ ῥῶσις τῶν νοσούντων, ἡ λύσις τῶν δεσμίων, καὶ τῶν ἐν θλίψει ἡ παράκλησις.

Ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Χριστόν, ὑπὲρ οὗ ποινὰς πάσας ὑπήνεγκας, μέχρι τομῆς, καύσεως θανάτου τε καὶ σταυροῦ, ἐγκαρτερῶν Θεόδωρε, αἴτησαι συγγνώμην ἡμῖν κακῶν, τῷ κόσμῳ τὴν εἰρήνην, νίκας τοῖς βασιλεῦσι, καὶ σωτηρίαν τοῖς τιμῶσί σε.

Θεοτοκίον.

Ὑψώθη ἐδοξάσθη γένος βροτῶν, καὶ τιμῆς ἠξιώθη τῆς κρείττονος, διὰ τῆς σῆς, Κόρη συγγενείας καὶ θεϊκῆς, υἱοθεσίας ἔτυχε, τῇ σῇ μεσιτείᾳ· καὶ γὰρ Θεός, ὡράθη σαρκοφόρος, ἐκ σοῦ ἀῤῥήτῳ τρόπῳ, ἄτρεπτος μείνας τῇ Θεότητι.

᾿Εξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Μεγαλομάρτυς ἔνδοξε, τοῦ Χριστοῦ στρατηλάτα, καὶ θεῖον ἐγκαλλώπισμα, τῶν σεπτῶν ᾿Αθλοφόρων, Θεόδωρε γενναιόφρον, μὴ ἐλλίπῃς αἰτεῖσθαι, τῷ Βασιλεῖ τὰ τρόπαια, καὶ εἰρήνην τῷ κόσμῳ, καὶ ἱλασμόν, τῶν ἁμαρτημάτων καὶ σωτηρίαν, τοῖς ἐκτελοῦσι πάνσοφε, τὴν φωσφόρον σου

www.tezaurliturgic.ro



μνήμην.

῞Ετερον. Ἐν Πνεύματι τῷ Ἱερῷ.

Θεόδωρε δῶρον Θεοῦ, θαυμαστῶς ἀνεδείχθης, ὡς μάρτυς ἀπαράτρεπτος, πᾶσι τοῖς εὐσεβέσι· κινδύνων γὰρ διασῴζεις, καὶ λυτροῦσαι θλίψεων, ἐξαίρεις ἀσθενειῶν τε, καὶ παντοίων ἀλγεινῶν, τοὺς προστρέχοντας πιστῶς, τῇ δραστικῇ σου πρεσβείᾳ.

Τῆς Ἑορτῆς. Αὐτόμελον.

Ἐν Πνεύματι τῷ Ἱερῷ, παραστὰς ὁ Πρεσβύτης, ἀγκάλαις ὑπεδέξατο, τὸν τοῦ Νόμου Δεσπότην, κραυγάζων· Νῦν τοῦ δεσμοῦ με, τῆς σαρκὸς ἀπόλυσον, ὡς εἴρηκας ἐν εἰρήνῃ· εἶδον γὰρ τοῖς ὀφθαλμοῖς, ἀποκάλυψιν ἐθνῶν, καὶ Ἰσραὴλ σωτηρίαν.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἀθλητὴς γενναιότατος, στρατιώτης ἀήττητος, ἐν Ἁγίῳ Πνεύματι ἀναδέδειξαι, καταβαλὼν τὸν πολέμιον, σοφίᾳ τῶν λόγων σου, καὶ τῶν ἔργων σου σοφέ, καρτεραῖς ἐπιδείξεσιν· ὅθεν εἴληφας, τοὺς στεφάνους τῆς νίκης καὶ ταῖς ἄνω, ὁμηγύρεσι συνήφθης, κλέος Μαρτύρων Θεόδωρε.

Καὶ σταυρῷ ἀναρτώμενος, καὶ τὰς σάρκας τυπτόμενος, ὀξυτάτοις βέλεσι τιτρωσκόμενος, καὶ ἐπὶ ξύλου τεινόμενος, καὶ πλευρὰς ξεόμενος, καὶ παντοίαις χαλεπαῖς, ἀλγηδόσι κυκλούμενος, ἀπαράτρωτος, καὶ ἀήττητος ὤφθης τῇ δυνάμει, τοῦ Σταυρῷ προσηλωθέντος, κλέος Μαρτύρων Θεόδωρε.

Θεῖον ἄγαλμα γέγονας, εὐσεβείας πανόλβιε, δυσσεβῶν ἀγάλματα βδελυξάμενος, καὶ ἱερεῖον ὁλόκληρον, καὶ θῦμα εὐπρόσδεκτον, τῷ τυθέντι διὰ σέ, καθαρῶς προσαγόμενος, τῷ δοξάσαντι, τὴν ἁγίαν σου μνήμην καὶ θαυμάτων, θησαυρόν σε τοῖς ἐν κόσμῳ, δωρησαμένῳ Θεόδωρε.

Εὐχαΐτων τὸ βλάστημα, Ἐκκλησίας τὸ καύχημα, τῶν θαυμάτων πέλαγος τὸ ἀκένωτον, τὸν Στρατηλάτην Θεόδωρον, τιμήσωμεν ἅπαντες, ἀνακράζοντες αὐτῷ· Ἀθλητὰ μυριόνικε, τοὺς προστρέχοντας, εὐλαβῶς τῇ σεπτῇ σου ἀντιλήψει, ἀπὸ θλίψεων τε νόσων, καὶ συμπτωμάτων διάσωσον.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Ἀθλητικὸν συστησάμενος στάδιον, κατὰ τῆς πλάνης ἠνδραγάθησας Θεόδωρε, τῇ πυριφθόγγῳ γλώττῃ σου, καταισχύνας Λικινίου τὸ ἀπάνθρωπον· διὸ καὶ σὺν Ἀγγέλοις χορεύων μακάριε, αἴτησαι Χριστῷ τῷ Θεῷ, ὅπως ἵλεως γενήσεται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός. Ἀνδρέου Κρήτης.

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ, σήμερον τῷ θείῳ Ἱερῷ, κατὰ νόμον προσφερόμενος, πρεσβυτικαῖς ἐνθρονίζεται ἀγκάλαις· καὶ ὑπὸ Ἰωσὴφ εἰσδέχεται δῶρα θεοπρεπῶς, ὡς ζεῦγος τρυγόνων τὴν ἀμίαντον Ἐκκλησίαν, καὶ τῶν Ἐθνῶν τὸν νεόλεκτον λαόν· περιστερῶν δὲ δύο νεοσσούς, ὡς ἀρχηγός τε Παλαιᾶς τε καὶ Καινῆς. Τοῦ πρὸς αὐτοῦ χρησμοῦ δὲ Συμεών, τὸ πέρας δεξάμενος, εὐλογῶν τὴν Παρθένον, Θεοτόκον Μαρίαν, τὰ τοῦ πάθους σύμβολα, τοῦ ἐξ αὐτῆς προηγόρευσε· καὶ παρ' αὐτοῦ ἐξαιτεῖται τὴν ἀπόλυσιν βοῶν· Νῦν ἀπολύεις με Δέσποτα, καθὼς προεπηγγείλω μοι· ὅτι εἶδόν σε τὸ προαιώνιον φῶς, καὶ Σωτῆρα Κύριον τοῦ χριστωνύμου λαοῦ.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ κστ΄ Ὀκτωβρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Δῶρον φερωνύμως σε τοῦ Θεοῦ, οἱ πιστοὶ καλοῦμεν, ὦ Θεόδωρε θαυμαστέ, ὑπέρμαχον μέγαν, καὶ ῥύστην ἐν κινδύνοις, δυνάμει τῶν εὐχῶν σου, ἀεὶ πλουτοῦντές σε.

*Δίστιχον.*

*Κυρίλλῳ Θεόδωρε προστάτης ἔσο*
*Ἀσμάτων σοι πλέξαντι πιστῶς στεφάνους.*